# ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

*Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελή-* 1 R 1,7. 1 K 1,2.
*ματος θεοῦ τοῖς ἁγίοις τοῖς οὖσιν [ἐν Ἐφέσῳ]*
*καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· χάρις ὑμῖν καὶ* 2
*εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ*
*Χριστοῦ.*

*Εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν* 3 2,6.
*Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐ-*
*λογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ,*

---

**[Inscriptio : ad Laodicenses?]** **1**,*1 αγιοις : + πασιν* *3 — και πατηρ*

J 15,16. 4 καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς
5,27. R 8,29. κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώ-
J 1,12. 5 πιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱο-
θεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν
Mt 3,17. 6 εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, εἰς ἔπαινον δόξης
τῆς χάριτος αὐτοῦ ἧς ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ
Kol 1,14. 7 ἠγαπημένῳ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ
2,7; 3,8.16. τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμά-
8 των, κατὰ τὸ πλοῦτος τῆς χάριτος αὐτοῦ, ˈἧς
ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρο-
3,9. R 16,25. 9 νήσει ˈγνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήμα-
τος αὐτοῦ, κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο
G 4,4. 10 ἐν αὐτῷ ˈεἰς οἰκονομίαν τοῦ πληρώματος τῶν και-
ρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ,
τὰ ἐπὶ τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς· ἐν
Kol 1,12. 11 αὐτῷ, ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες κατὰ
R 8,28. πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βου-
12 λὴν τοῦ θελήματος αὐτοῦ, εἰς τὸ εἶναι ἡμᾶς εἰς
ἔπαινον δόξης αὐτοῦ τοὺς προηλπικότας ἐν τῷ
4,30. 13 Χριστῷ· ἐν ᾧ καὶ ὑμεῖς, ἀκούσαντες τὸν λόγον
τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν,
ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ πνεύ-
2 K 1,22; 5,5. 14 ματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅ ἐστιν ἀρραβὼν
τῆς κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν τῆς περι-
ποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.
Kol 1,4. 15 Διὰ τοῦτο κἀγώ, ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν
ἐν τῷ κυρίῳ Ἰησοῦ καὶ [τὴν ἀγάπην] τὴν εἰς πάν-
16 τας τοὺς ἁγίους, οὐ παύομαι εὐχαριστῶν ὑπὲρ
ὑμῶν μνείαν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,
17 ˈἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ

---

*4 εν αγαπη,* : TW *, εν αγαπη* *5* W *εις αυτὸν κ.* *8* RW *φρονησει,* *9* W *αυτου κ.* *14 ο* : hTW *ος* | W *ημων,* *15 [την αγαπην]* : h$^r$ TW—H

---

*4 εν εαυτω* *6 ης : η vl εν η* | fin + *υιω αυτου* *7 εσχομεν* | *χρηστοτητος* *8 ημας,* *9 γνωρισαι* | — *αυτου 2°* *10 επι 1° : εν* *11 εκληθημεν* | *προθεσιν* : + *του θεου* *13 υμεις : ημεις* *16 μνειαν* : + *υμων*

*πατὴρ τῆς δόξης, δῴη ὑμῖν πνεῦμα σοφίας καὶ*
*ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους* 18 Dt 33,3.4.
*τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, εἰς τὸ εἰδέ-*
*ναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ,*
*τίς ὁ πλοῦτος τῆς δόξης τῆς* ***κληρονομίας*** *αὐτοῦ*
***ἐν τοῖς ἁγίοις****, καὶ τί τὸ ὑπερβάλλον μέγεθος* 19 2 K 13,4.
*τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας*
*κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ,*
*ἣν ἐνήργηκεν ἐν τῷ Χριστῷ ἐγείρας αὐτὸν ἐκ νε-* 20 Ps 110,1.
*κρῶν, καὶ* ***καθίσας ἐν δεξιᾷ αὐτοῦ*** *ἐν τοῖς ἐπου-*
*ρανίοις* ˡ *ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ* 21 Kol 2,10.
*δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος*
*ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ*
*καὶ ἐν τῷ μέλλοντι· καὶ* ***πάντα ὑπέταξεν ὑπὸ*** 22 Ps 8,7. Mt 28,18. 4,15.
***τοὺς πόδας αὐτοῦ****, καὶ αὐτὸν ἔδωκεν κεφαλὴν*
*ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶν τὸ σῶμα* 23 R 12,5. 1 K 12,27. 4,10.
*αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσιν πλη-*
*ρουμένου. καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώ-* 2 Kol 2,13.
*μασιν καὶ ταῖς ἁμαρτίαις ὑμῶν, ἐν αἷς ποτε πε-* 2 6,12. Tt 3,3. J 12,31. Kol 1,13.
*ριεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου,*
*κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ*
*πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς*
*ἀπειθείας· ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν* 3 Kol 3,6.
*ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦν-*
*τες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν,*
*καὶ ἤμεθα τέκνα φύσει ὀργῆς ὡς καὶ οἱ λοιποί· —*
*ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν* 4
*ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς* 5 L 15,24.32.
*νεκροὺς τοῖς παραπτώμασιν συνεζωοποίησεν τῷ*

---

*17* h *δώῃ vl δῷ* *18 υμων* : [H]—W *20* hR *ενηργησεν* | W *Χριστω, ... νεκρων και* | *καθισ.* : T+ *αυτον* 2,*2* H *απειθιας* *3* TW *λοιποι·* *5 τω* : hW pr *εν*

---

*18 τις 2⁰* : pr *και* *19 υμας* *20 εκαθισεν* | *ουρανοις* **2**,*1 αμαρτ.* : *επιθυμιαις* *2* [*αιωνα* : *κανονα*] *3 ημεις* : *υμεις vl* — *4* — *αυτου* *5 παραπτ.* : + *και ταις επιθυμιαις*

R 8,10. Ph 3,20. 6 Χριστῷ, — χάριτί ἐστε σεσωσμένοι, — ⸀καὶ συνή-
γειρεν καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν
1,7. 7 Χριστῷ Ἰησοῦ, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσιν τοῖς
ἐπερχομένοις τὸ ὑπερβάλλον πλοῦτος τῆς χάρι-
τος αὐτοῦ ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ
G 2,16. 8 Ἰησοῦ. τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ πί-
στεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, θεοῦ τὸ δῶρον·
1 K 1,29. 9 οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. αὐτοῦ γάρ
Tt 2,14. 10 ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ
ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεὸς ἵνα ἐν
αὐτοῖς περιπατήσωμεν.
5,8. 11 Διὸ μνημονεύετε ὅτι ποτὲ ὑμεῖς τὰ ἔθνη ἐν
σαρκί, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομέ-
R 9,4. 12 νης περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε τῷ
καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι
τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθη-
κῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι
Is 57,19; 52,7. 13 ἐν τῷ κόσμῳ. νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς
οἵ ποτε ὄντες **μακρὰν** ἐγενήθητε **ἐγγὺς** ἐν τῷ αἵ-
Is 9,5. G 3,28. 14 ματι τοῦ Χριστοῦ. Αὐτὸς γάρ ἐστιν ἡ **εἰρήνη**
ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσό-
τοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ
Kol 2,14. 2 K 5,17. 15 σαρκὶ αὐτοῦ ⸀τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασιν
καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν αὐτῷ εἰς ἕνα
16 καινὸν ἄνθρωπον ποιῶν εἰρήνην, καὶ ἀποκαταλ-
λάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ διὰ
τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ·
Is 57,19. Zch 9,10. 17 καὶ ἐλθὼν **εὐηγγελίσατο εἰρήνην** ὑμῖν **τοῖς μακρὰν**
3,12. 18 **καὶ εἰρήνην τοῖς ἐγγύς**· ὅτι δι' αὐτοῦ ἔχομεν τὴν
προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς
3,6. H 12,22.23. 19 τὸν πατέρα. ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάρ-

---

*11* H *χειροποιητου, —* *12* W *Χριστου απηλλ.* *14* TW *εχθραν,* | H *αυτου,* *15* H *εν αὐτω* *16* H *σταυρου αποκτ.*

---

*5 χαριτι* : pr *οὐ* *8 δια* : + *της* *15.16 εν εαυτω* *17 — ειρηνην* 2° *19 — εστε*

οικοι, ἀλλὰ ἐστὲ συνπολῖται τῶν ἁγίων καὶ οἰ-
κεῖοι τοῦ θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ 20 Mt 16,18.
τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος **ἀκρογωνιαίου** Is 28,16.
αὐτοῦ Χριστοῦ Ἰησοῦ, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρ- 21
μολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν κυρίῳ, ἐν 22 1 P 2,5.
ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον
τοῦ θεοῦ ἐν πνεύματι.

Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος τοῦ Χρι- 3 Ph 1,7.13.
στοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν — εἴ γε ἠκού- 2
σατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ θεοῦ τῆς
δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ ἀποκάλυψιν 3 1,9.10.
ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέγραψα
ἐν ὀλίγῳ, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι 4
τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ,
ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν 5 Kol 1,26.
ἀνθρώπων ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀπο-
στόλοις αὐτοῦ καὶ προφήταις ἐν πνεύματι, εἶναι 6 2,13.18.19.
τὰ ἔθνη συνκληρονόμα καὶ σύνσωμα καὶ συνμέτ-
οχα τῆς ἐπαγγελίας ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ
εὐαγγελίου, οὗ ἐγενήθην διάκονος κατὰ τὴν δω- 7
ρεὰν τῆς χάριτος τοῦ θεοῦ τῆς δοθείσης μοι κατὰ
τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ. ἐμοὶ τῷ ἐλα- 8 1 K 15,9.10.
χιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, 1,7. G 1,16.
τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸ ἀνεξιχνίαστον
πλοῦτος τοῦ Χριστοῦ, καὶ φωτίσαι τίς ἡ οἰκονο- 9 R 16,25.
μία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν Kol 1,16.
αἰώνων ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι, ἵνα 10 1 P 1,12.
γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν R 11,33.
τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποί-
κιλος σοφία τοῦ θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώ- 11 1,11.

---

*19* R *ἀλλά ἐστε* 3,*1* T— *Ιησου* *3* H [*οτι*] *7.8* H *αυτου* — *εμοι ... αυτη* — *9* *φωτισαι* : h [R] W+ *παντας* *10.11* W *θεου κατα*

---

*20 ακρογων. λιθου* *21 πασα* : + *η* *22 θεου* : *Χριστου* 3,*3 εγνωρισε* *6 επαγγ.* : + *αυτου* *7 την δοθεισαν* *8 τοις* : pr *εν* *9 κτισαντι* : + *δια Ιησου Χριστου*

νων ἣν ἐποίησεν ἐν τῷ Χριστῷ Ἰησοῦ τῷ κυρίῳ
J 14,6. H 4,16. R 5,2. 12 ἡμῶν, ἐν ᾧ ἔχομεν τὴν παρρησίαν καὶ προσαγω-
Kol 1,24. 13 γὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ. διὸ
αἰτοῦμαι μὴ ἐνκακεῖν ἐν ταῖς θλίψεσίν μου ὑπὲρ
14 ὑμῶν, ἥτις ἐστὶν δόξα ὑμῶν. Τούτου χάριν
15 κάμπτω τὰ γόνατά μου πρὸς τὸν πατέρα, ἐξ οὗ
πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται,
1,7. 6,10. 16 ἵνα δῷ ὑμῖν κατὰ τὸ πλοῦτος τῆς δόξης αὐτοῦ
δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ
J 14,23. Kol 2,7. 17 εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν
διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, ἐν ἀγάπῃ
18 ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ¹ ἵνα ἐξισχύσητε
καταλαβέσθαι σὺν πᾶσιν τοῖς ἁγίοις τί τὸ πλά-
19 τος καὶ μῆκος καὶ ὕψος καὶ βάθος, γνῶναί τε
τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χρι-
στοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ
θεοῦ.
20 Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερεκ-
περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν κατὰ τὴν δύ-
21 ναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν, αὐτῷ ἡ δόξα ἐν
τῇ ἐκκλησίᾳ καὶ ἐν Χριστῷ Ἰησοῦ εἰς πάσας τὰς
γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων· ἀμήν.
Kol 1,10. 4 Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ
Kol 3,12. 2 ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ
πάσης ταπεινοφροσύνης καὶ πραΰτητος, μετὰ μα-
3 κροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, ¹ σπου-
δάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν
R 12,5. 4 τῷ συνδέσμῳ τῆς εἰρήνης· ἓν σῶμα καὶ ἓν πνεῦμα,
καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως
1 K 8,6. 5 ὑμῶν· εἷς κύριος, μία πίστις, ἓν βάπτισμα· εἷς
1 K 12,6. 6

---

*13* W εγκακ. *17* H υμων εν αγαπη· *18* hT κ. βαθος κ. υψος *19* h ινα πληρωθη παν *4,2* W μακροθυμιας ανεχ. *4* και 2° : [H]

---

*13* εκκακειν *14* πατερα : + του κυριου ημων Ιησου Χριστου *15* ουρανω *20* — υπερ

*θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ
πάντων καὶ ἐν πᾶσιν. Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη* 7 R 12,3.6.
*[ἡ] χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.* 1 K 12,11.
*διὸ λέγει·* 8 Ps 68,19. Kol 2,15.

**ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν,**
**[καὶ] ἔδωκεν δόματα τοῖς ἀνθρώποις.**

*τὸ δὲ ἀνέβη τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη εἰς* 9 J 3,13.
*τὰ κατώτερα μέρη τῆς γῆς; ὁ καταβὰς αὐτός* 10
*ἐστιν καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρα-
νῶν, ἵνα πληρώσῃ τὰ πάντα. καὶ αὐτὸς ἔδωκεν* 11 1 K 12,28.
*τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ* Act 21,8.
*εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους,
πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον δια-* 12 1 P 2,5.
*κονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ,* 2 T 3,17.
*μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα* 13
*τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ
θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ
πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νή-* 14 1 K 14,20.
*πιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ* H 13,9.
*ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβίᾳ τῶν ἀνθρώ-
πων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδίαν τῆς πλάνης,
ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν* 15 1,22; 5,23. Kol 1,18.
*τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλή, Χριστός, ˡἐξ οὗ* 16 Kol 2,19.
*πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συνβιβαζό-
μενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας κατ' ἐνέρ-
γειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξησιν
τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν
ἀγάπῃ.*
*Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν κυρίῳ,* 17 R 1,21.

---

*7* [*η*] : TW *η* *8* TW— [*και*] *9* *κατεβη* : hW+ *πρωτον* *12* W *διακονιας εις* *14* RW *κυβεια* | RW *μεθοδειαν* *16* h *μελους* | *εαυτου* : T *αυτου*

---

*6* — *και* 1° | fin + *ημιν vl υμιν* *8* *τοις* : *εν* *9* — *μερη* *12* *αγιων,* *13* — *του υιου* *14* fin + *του διαβολου* *15* *αληθειαν δε ποιουντες* | — *η* | *ο Χριστος*

μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ ἔθνη περι-
2,12. 18 πατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτω-
1 P 1,14. μένοι τῇ διανοίᾳ ὄντες, ἀπηλλοτριωμένοι τῆς
ζωῆς τοῦ θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐ-
19 τοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, ¹οἵτινες
ἀπηλγηκότες ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς
20 ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. ὑμεῖς
21 δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν, εἴ γε αὐτὸν
ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν
R 6,13. Kol 3,9. 22 ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν
G 6,8. προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν
φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης,
R 12,2. 23 ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν ¹καὶ
Gn 1,26. 24 ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν
κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀλη-
θείας.
Zch 8,16. 25 Διὸ ἀποθέμενοι τὸ ψεῦδος **λαλεῖτε ἀλήθειαν**
**ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ**, ὅτι ἐσμὲν ἀλ-
Ps 4,5. 26 λήλων μέλη. **ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε**· ὁ ἥλιος
Jc 1,19.20. 27 μὴ ἐπιδυέτω ἐπὶ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε
1 Th 4,11. 28 τόπον τῷ διαβόλῳ. ὁ κλέπτων μηκέτι κλεπτέτω,
μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος ταῖς [ἰδίαις] χερ-
σὶν τὸ ἀγαθόν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν
5,4. 29 ἔχοντι. πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν
Kol 3,16.17; 4,6. μὴ ἐκπορευέσθω, ἀλλὰ εἴ τις ἀγαθὸς πρὸς οἰκο-
δομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν.
1,13. Is 63,10. 30 καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ θεοῦ,
ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.
Kol 3,8. 31 πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ
βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ.

*18* W *διανοια, οντες απ. ... θεου δια ... ουσ. εν αυτοις δια* *19* h[r] *απηλπικοτες* *21* TW *εδιδαχθητε κ.* | ℜ *καθὼς ἔστιν* | h *αληθειᾳ,* *23 τω* : W pr *εν* *28* [*ιδιαις*] : hTW—H *29* W *αλλ* | *χρειας* : h[r] *πιστεως*

*17 τα : + λοιπα 19 και πλεονεξιας 22 την επιθυμιαν 24 ενδυσασθε | και αληθεια*

ˈγίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, 32 Mt 6,14; 18,22–35. Kol 3,13.
χαριζόμενοι ἑαυτοῖς καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ
ἐχαρίσατο ὑμῖν. γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ, 5 Mt 5,48.
ὡς τέκνα ἀγαπητά, ˈκαὶ περιπατεῖτε ἐν ἀγάπῃ, 2 25. G 2,20. H 10,10.
καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς καὶ παρέ- Ps 40,7.
δωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν **προσφορὰν καὶ θυσίαν** Ex 29,18. Ez 20,41.
**τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας.** Πορνεία δὲ καὶ 3 4,19. Kol 3,5.
ἀκαθαρσία πᾶσα ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω
ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, ˈκαὶ αἰσχρότης καὶ 4 4,29.
μωρολογία ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν, ἀλλὰ
μᾶλλον εὐχαριστία. τοῦτο γὰρ ἴστε γινώσκοντες, 5 1 K 6,9.10.
ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅ Act 8,21.
ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ
βασιλείᾳ τοῦ Χριστοῦ καὶ θεοῦ. Μηδεὶς ὑμᾶς 6 R 1,18.
ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται
ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.
μὴ οὖν γίνεσθε συνμέτοχοι αὐτῶν· ἦτε γάρ ποτε 7 8 2,11.13. 1 P 2,9.
σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ· ὡς τέκνα φωτὸς
περιπατεῖτε, — ὁ γὰρ καρπὸς τοῦ φωτὸς ἐν πάσῃ 9 L 16,8. J 12,36.
ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ, — δοκι- 10 17. R 12,2.
μάζοντες τί ἐστιν εὐάρεστον τῷ κυρίῳ· καὶ μὴ 11 J 16,8.
συνκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκό-
τους, μᾶλλον δὲ καὶ ἐλέγχετε, ˈτὰ γὰρ κρυφῇ γινό- 12 R 1,24.
μενα ὑπ' αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν· τὰ δὲ 13 J 3,20.21.
πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται·
πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν. διὸ λέγει· 14 Is 26,19; 60,1. R 13,11.
ἔγειρε, ὁ καθεύδων,
καὶ ἀνάστα ἐκ τῶν νεκρῶν,
καὶ ἐπιφαύσει σοι ὁ Χριστός.
Βλέπετε οὖν ἀκριβῶς πῶς περιπατεῖτε, μὴ ὡς 15 Mt 10,16. Kol 4,5.
ἄσοφοι ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν και- 16

---

*32* H [δε] | υμιν : hW ημιν *5,2* ημων : 𝔎 υμων
*3* W αγιοις. *4* και 2° : T η *5* ο : W ος *6* H απειθιας
*10* TW κυριω, *14* επιφ. σοι ο Χρ. : h^r επιψαυσεις του χριστου

---

*32* δε : ουν *5,2* υμας : ημας *4* και 1° : η *9* φωτος : πνευματος *10* κυριω : θεω *15* ουν : + αδελφοι

10. R 12,2. 17 ρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν. διὰ τοῦτο μὴ
Prv 23,31 Lxx. γίνεσθε ἄφρονες, ἀλλὰ συνίετε τί τὸ θέλημα τοῦ
L 21,34. 18 κυρίου. καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν
Kol 3,16. Ps 33,2.3. 19 ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι, ˡ λαλοῦντες
ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευμα-
τικαῖς, ᾄδοντες καὶ ψάλλοντες τῇ καρδίᾳ ὑμῶν
20 τῷ κυρίῳ, εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων
ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ
1 P 5,5. 21 θεῷ καὶ πατρί, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ
Gn 3,16. Kol 3,18. 22 Χριστοῦ. Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὡς
1 P 3,1. 1 K 11,3. 23 τῷ κυρίῳ, ὅτι ἀνήρ ἐστιν κεφαλὴ τῆς γυναικὸς
ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, αὐτὸς
24 σωτὴρ τοῦ σώματος. ἀλλὰ ὡς ἡ ἐκκλησία ὑπο-
τάσσεται τῷ Χριστῷ, οὕτως καὶ αἱ γυναῖκες τοῖς
Kol 3,19. 25 ἀνδράσιν ἐν παντί. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυ-
ναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν τὴν ἐκ-
Tt 3,5. 26 κλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα
αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος
Ps 45,14. 2 K 11,2. 27 ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὸς ἑαυτῷ ἔνδοξον
τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ
τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος.
28 οὕτως ὀφείλουσιν [καὶ] οἱ ἄνδρες ἀγαπᾶν τὰς
ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. ὁ ἀγα-
29 πῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς
γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλὰ ἐκ-
τρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Χριστὸς
1,23. 1 K 6,15. Gn 2,23. 30 τὴν ἐκκλησίαν, ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ.
Gn 2,24. 31 **ἀντὶ τούτου καταλείψει ἄνθρωπος [τὸν] πατέρα
καὶ [τὴν] μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ**

---

*19 ψαλμοις* : h pr *εν* | *τη* : R pr [*εν*] *21* W *πατρι. Υποτασσ. .. Χριστου,* *22 ανδρασιν* : hW+ *υποτασσεσθωσαν* *23* hW *ανηρ κεφαλη εστιν* *24* W *αλλ* *28* [*και*] : RW—T *30* fin h[r] + *, εκ της σαρκος αυτου και εκ των οστεων αυτου* *31* [*τον*] *et* [*την*] : T—RW | h[r]— *και προσκ. ... αυτου* | *τη γυναικι* : ℞W *προς την γυναικα*

---

*17 συνιεντες* | *κυριου* : *θεου* *19 εν πνευμ.* : *(vl+) εν χαριτι* *23 και αυτος (εστι)* *24 — ως* *25 γυν. εαυτων* *27 αυτος* : *αυτην*

**αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.** τὸ 32 Ap 19,7.
μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς
Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. πλὴν καὶ ὑμεῖς 33
οἱ καθ' ἕνα ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως
ἀγαπάτω ὡς ἑαυτόν, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν
ἄνδρα. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν 6 Kol 3,20.
ὑμῶν ἐν κυρίῳ· τοῦτο γάρ ἐστιν δίκαιον. **τίμα** 2 Ex 20,12.
**τὸν πατέρα σου καὶ τὴν** μητέρα, ἥτις ἐστὶν ἐν-
τολὴ πρώτη ἐν ἐπαγγελίᾳ, **ἵνα εὖ σοι γένηται καὶ** 3 Dt 5,16.
**ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.** Καὶ οἱ πατέρες, 4 Kol 3,21. Prv 2,2; 3,11; 19,18.
μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλὰ ἐκτρέφετε Is 50,5.
αὐτὰ ἐν **παιδείᾳ** καὶ **νουθεσίᾳ κυρίου.** Οἱ δοῦ- 5 Dt 6,7.20–25. Ps 78,4.
λοι, ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ Kol 3,22–25.
φόβου καὶ τρόμου ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν Tt 2,9.10. 1 P 2,18.
ὡς τῷ Χριστῷ, μὴ κατ' ὀφθαλμοδουλίαν ὡς ἀνθρω- 6
πάρεσκοι, ἀλλ' ὡς δοῦλοι Χριστοῦ ποιοῦντες τὸ
θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας δου- 7
λεύοντες ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις, εἰδό- 8 2 K 5,10.
τες ὅτι ἕκαστος ἐάν τι ποιήσῃ ἀγαθόν, τοῦτο
κομίσεται παρὰ κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύ-
θερος. Καὶ οἱ κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς 9 Kol 4,1.
αὐτούς, ἀνιέντες τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ 2 Chr 19,7. Act 10,34.
αὐτῶν καὶ ὑμῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ
προσωπολημψία οὐκ ἔστιν παρ' αὐτῷ.

Τοῦ λοιποῦ, ἐνδυναμοῦσθε ἐν κυρίῳ καὶ ἐν 10 1 K 16,13. 1 J 2,14.
τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. ἐνδύσασθε τὴν πα- 11 4,14. 2 K 10,4.
νοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι
πρὸς τὰς μεθοδίας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν 12 2,2. J 14,30. Kol 1,13. 1 P 5,8.9.
ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς
τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμο-

---

31 T— αυτου 32 εις 2° : [H]—W 6,1 εν κυριω : [H]—W 2 W— εστιν 2.3 h πρωτη, εν επαγγελια ινα 4 T παιδια 5 T— της 6 RW οφθαλμοδουλειαν 6.7 H θεου, εκ ψυχης μετ ευνοιας δουλευοντες 10 h δυναμουσθε 11 RW μεθοδειας 12 ημιν : h υμιν

---

6,7 — ως 10 λοιπου : + αδελφοι (μου)

κράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευμα-
13 τικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. διὰ τοῦτο
ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνη-
Is 11,5; 59,17. θῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ
L 12,35. 14 ἅπαντα κατεργασάμενοι στῆναι. στῆτε οὖν **περι-**
1 P 1,13. 1 Th 5,8. **ζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ**, καὶ **ἐν-**
Is 52,7; 40,3.9. 15 **δυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης**, καὶ ὑπο-
δησάμενοι **τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου**
1 P 5,9. 16 **τῆς εἰρήνης**, ἐν πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς
1 J 5,4. πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πο-
1 Th 5,8. Is 59,17; 11,4; 17 νηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ **τὴν περικεφα-**
49,2; 51,16. Hos 6,5. **λαίαν τοῦ σωτηρίου** δέξασθε, καὶ **τὴν μάχαιραν**
Mt 26,41. 18 **τοῦ πνεύματος**, ὅ ἐστιν **ῥῆμα θεοῦ**, ˈδιὰ πάσης
προσευχῆς καὶ δεήσεως, προσευχόμενοι ἐν παντὶ
καιρῷ ἐν πνεύματι, καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες
ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων
Kol 4,3. 19 τῶν ἁγίων, ˈκαὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος
2 Th 3,1. Act 4,29. ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρί-
2 K 5,20. 20 σαι τὸ μυστήριον τοῦ εὐαγγελίου, ὑπὲρ οὗ πρεσ-
βεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παρρησιάσωμαι ὡς
δεῖ με λαλῆσαι.
Act 20,4. 21 Ἵνα δὲ καὶ ὑμεῖς εἰδῆτε τὰ κατ' ἐμέ, τί
2 T 4,12. πράσσω, πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπη-
Kol 4,7.8. 22 τὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ, ὃν
ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ
περὶ ἡμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν.
23 Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως
1 P 1,8. 24 ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ. ἡ
χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν κύριον
ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ.

---

*16* W *επι π.* | H *[τα] π.* *18* W *δεησεως πρ.* *19* R *μου εν* | H *[του ευαγγ.]* *20* W *ινα αυτο* *21* 𝔎W *ειδητε και υμεις* | H *Τύχικος*

*17* — *δεξασθε*
**Subscriptio**: *εγραφη απο Ρωμης (+ δια Τυχικου)*

Google

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`